0203



## Β΄.

Τὸ ἐν λόγῳ σιγγιλιῶδες ἐν μεμβράναις γράμμα ἔχει ὧδε·

† Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

† Τῶν πρὸς κοινὴν ὠφέλειαν ἀφορώντων ἀγαθῶν, καὶ λαμπρῶν εὐεργετημάτων ἡ μετὰ φιλοτιμίας ἀντίληψις, καὶ προάσπισις ἀναγκαία προδήλως, καὶ ἀπαραίτητος· αὔξει γὰρ οὕτω, καὶ κρατύνεται τὰ καλὰ, καθ' ὃν ἐνεστήσαντο σκοπὸν καὶ οἱ ταῦτα κατορθωκότες. Ἐπεὶ δὲ τῶν ἀγαθῶν ὁμολόγως ὑπερέχει, καὶ ὑπερίδρυται τὸ τῆς θεοσδότου παιδείας πολυύμνητον χρῆμα, οἷα ψυχῆς κόσμος ἀκήρατος, συμπληρωτικὸν τῆς κατὰ λόγον καὶ γνῶσιν ἐνεργείας, καὶ ᾗ δυνατὸν, πρὸς τὸν Θεὸν τοῦ ἀνθρώπου ἐξομοιωτικὸν, ἀναγκαιοτέρα πάντως καὶ ἡ ἐπὶ τῇ συστάσει τῶν κατὰ μέρος συγκροτουμένων κοινῶν φροντιστηρίων ἐκκλησιαστικὴ ἔνθερμος προστασία, καὶ δικαιοτέρα ἡ τῶν ἐπαίνων δαψίλεια τοῖς περὶ τὰ τοιαῦτα θεοφιλῶς ἐσπουδακόσιν. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ ἱερώτατος μητροπολίτης Δέρκων, ὑπέρτιμος, καὶ ἔξαρχος βοσπόρου Θρακικοῦ, καὶ κυανέων, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς καὶ περιπόθητος ἡμῶν ἀδελφὸς, καὶ συλλειτουργὸς κύριος Γρηγόριος πρὸς ταῖς ἄλλαις ἐξαιρέτοις φιλοκαλίαις, δι' ὧν τὴν θεόθεν αὐτῷ λαχοῦσαν ταύτην Ἐπαρχίαν κατεκόσμησε, καὶ παντοίαις πνευματικαῖς, καὶ πατρικαῖς περιθάλψεσιν, ἃς ἀπεδείξατο τῷ ἐν αὐτῇ διατελοῦντι χριστωνύμῳ πληρώματι, καὶ λογικῷ ἑαυτοῦ ποιμνίῳ, ἡμῖν τε γνωστὰς, καὶ δι' εὐφήμου γλώττης ἀγομένας, καὶ παρὰ πάντων αὐτῶν διαθέσει καρδίας εὐγνώμονι διακηρυττομένας, καὶ κροτουμένας, προήχθη ζήλῳ ἐνθέῳ καὶ τὴν τῶν λοιπῶν ὑπερέχουσαν προσθῆναι, καὶ προσεπιμε-

---

βεβλημένη στέμματι βασιλικῷ, οὗ ἔνθεν μὲν καὶ ἔνθεν σπάθη καὶ βακτηρία ἡγεμονικὴ ἐζωγράφηται, ὑπὸ δὲ ἀστὴρ καὶ ὑπ' αὐτὸν παραλλήλως, ἐν δυσὶ κλωσὶ δάφνης, πρὸς μὲν τ' ἀριστερὰ ἀετὸς τανύπτερος, σταυρὸν ἀνὰ τὸ ῥάμφος φέρων, πρὸς δὲ τὰ δεξιὰ κεφαλὴ ὤρυγγος. Κάτωθι τῆς σφραγῖδος ἀναγιγνώσκεται τὸ ἔτος τῆς Βας ἡγεμονίας τοῦ Ἀλεξάνδρου Μουρούζη, ἤτοι τὸ 1802, καὶ πέριξ γέγραπται ἐν ῥουμανικῇ διαλέκτῳ ὁ ἡγεμονικὸς τίτλος, ὅ δε· «† Ηῶ : ΑΛΕΞΑΝΔΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΜΟΥΡΟΥΖΗΣ ΒΟΕΒΟΔΑΣ ΕΛΕΩ ΘΕΟΥ ΗΓΕΜΩΝ ΠΑΣΗΣ ΧΩΡΑΣ ΒΛΑΧΙΚΗΣ», ἐνῷ μέχρι τῆς ἐποχῆς ἐκείνης συνειθίζετο ἐν σλαβωνικῇ.

8058



τρῆσαι, ἀναγκαίαν διέγνω τὴν σύστασιν σχολείου Ἑλληνικοῦ κἀν τῇ χώρᾳ Ἀβάσσῳ καλουμένῃ, καὶ ἐν τῇ θεοσώστῳ αὐτοῦ ἐπαρχίᾳ κειμένῃ· κατιδὼν γὰρ αὐτὴν αὐχμῶσαν ἀγαθοῦ τοιούτου, καὶ τῶν κατοίκων, καὶ περιοίκων τὴν νεολαίαν γνόφῳ ἀμαθείας ἐπιπροσθουμένην, καὶ ὡς εἰπεῖν, ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκουσαν, καὶ ταύτην παραμυθήσασθαι προθέμενος ἐκ τῶν ἐνόντων, ὥσπερ καὶ πρότερον ἄλλα μέρη τῆς ἐπαρχίας, ἔνθα διὰ πολυειδοῦς συνδρομῆς, ὡς διὰ τοσούτων ὑπεκκαυμάτων τὸν τῆς παιδείας, καὶ μαθήσεως ἀνῆψε πυρσὸν, πρῶτον μὲν κατέβαλεν ἐξ ἰδίων, καὶ ἀφωσιώσατο περὶ τῆς συστάσεως δύω χιλιάδας πεντακόσια γρόσια· εἶτα δὲ κοινῇ εὐχαρίστῳ γνώμῃ τῶν ἐγχωρίων, καὶ ἐνυπογράφῳ ὁμολογίᾳ, μετήνεγκεν ἀπὸ τῆς ἱερᾶς ἐκκλησίας ἐπὶ τῷ ὀνόματι αὐτῆς τρεῖς χιλιάδας πεντακόσια γρόσια· ἀκολούθως δὲ τῷ οἰκείῳ γενναίῳ παραδείγματι παρέλαβε καὶ ἄλλους τῶν ὁμογενῶν, οἷς ἔρως φιλοκαλίας τε καὶ φιλογενείας ἐνέστακται, συναῤῥωγοὺς καὶ συναντιλήπτορας τοῦ θεοφιλοῦς ἔργου, καταβαλόντας ὅσην ἕκαστος αὐτῶν φιλοτίμως προῃρέθη ποσότητα, ὡς φαίνεται καταγεγραμμένη ἐν τῷ ἐπίτηδες γεγενημένῳ Καταστίχῳ, τὸ φιλόμουσον αὐτῶν, καὶ τὴν περὶ τὰ κοινωφελῆ τῶν σπουδασμάτων προθυμίαν χαρακτηρίζοντι, καὶ κλέος αὐτοῖς ἀΐδιον, μετὰ τῆς Θεόθεν ἀποκειμένης ἀντιμισθίας μνηστευομένῳ τε, καὶ παρεχομένῳ. Καὶ δὴ ἐν βραχυτελεῖ χρόνῳ, ἅτε τῆς θείας συνεφαπτομένης δυνάμεως ἐν τοῖς κοινωφελέσι σκοποῖς, προαχθέντος τοῦ ἀριθμοῦ τῆς συγκροτηθείσης συνεισφορᾶς εἰς γρόσια . . . . . ὠνήσατο ἐξ αὐτῶν ἡ αὐτοῦ ἱερότης μετὰ τῶν εὐλογημένων ἐγχωρίων ἐπαρχιωτῶν κατοικίαν πρόσφορον καὶ ἁρμοδίαν, καὶ ἀνεδείξατο ταύτην σχολὴν κοινὴν Ἑλληνικὴν, ἑτοίμην πρὸς ὑποδοχὴν οὐ μόνον τῶν αὐτοχθόνων, ἀλλὰ καὶ τῶν ἐκ τῶν πέριξ χωριδίων ἔρωτι παιδείας, καὶ μαθήσεως προσφοιτώντων νέων, καὶ διδάσκαλον προσκαλεσάμενοι, ἐνιδρύσαντο τὸν ἀπὸ χίου ἐλλογιμώτατον κὺρ Ἰάκωβον, ἄνδρα παιδείας εὖ ἥκοντα, ἤθεσι χρηστοῖς σεμνυνόμενον, καὶ δεδοκισμαμένον· βουλόμενοι δὲ τάξιν ἀρίστην καὶ ἁρμονίαν ἐπιθῆναι τῷ ἔργῳ, ἐπικοσμῆσαι τε, καὶ λαμπρότερον ἀναδεῖξαι, καὶ τελεώτερον τῇ ἀγρύπνῳ, καὶ ἐνθέρμῳ προστασίᾳ, καὶ ἐποπτείᾳ ζηλωτῶν, καὶ εἰδημόνων ἀνδρῶν, προείλοντο τοὺς τιμιωτάτους καὶ ἡμετέρους κατὰ πνεῦμα υἱοὺς ἀγαπητοὺς, καὶ περιποθήτους, τόν τε κύριον Δημήτριον Παπαρηγόπουλον, τὸν μισὲρ Θεοδόσιον τζι-

(ΑΒΑΣΣΟ)

0204



καλιώτην, τὸν πασᾶ Γεώργιον Χριστοδούλου, καὶ τὸν κύριον μιχαὴλ Βασιλείου, καὶ διὰ κοινοῦ ἐνυπογράφου αὐτῶν δεητικοῦ γράμματος ἀνέθεντο αὐτοῖς τὴν ἐφορείαν τῆς ἐναρμονίου διοικήσεως τῶν κατὰ τὴν σχολὴν πάντων, καὶ τὴν ἀσφάλειαν τῶν χρημάτων αὐτῆς κατὰ τὸν ἐφεξῆς ῥηθησόμενον τρόπον, ἐπὶ τῇ τετρακτύϊ τῶν φιλοκάλων τούτων ἀνδρῶν, ὥσπερ ἐπὶ βάσεως τετραγώνου τὴν ἀξιάγαστον πρᾶξιν ἐρείσαντες· πολὺς μὲν γὰρ αὐτῶν, καὶ διάπυρος ὁ ζῆλος, ὁμολογουμένη δὲ ἡ ἐμπειρία καὶ φρόνησις, ἀσύγκριτος δὲ καὶ ἀπαράμιλλος ἡ σπουδὴ καὶ ἑτοιμότης εἰς πραγματικὴν συνδρομὴν τῶν ὅσα προδήλως τὴν βελτίωσιν τῶν ὁμογενῶν, καὶ τὴν ὄντως ὠφέλειαν πραγματεύεται, καὶ οὐκ ἐψεύσθησαν τῶν ἐλπίδων· τὴν γὰρ δοθεῖσαν αὐτοῖς ἔγγραφον παρὰ τῆς ἐκείνου ἱερότητος, καὶ τῶν εὐλογημένων ἐγχωρίων χριστιανῶν νύξιν, ὕλην φιλοκαλίας εὑρόντες, καὶ μηδένα καιρὸν ἀναβαλλόμενοι, ἅμα μὲν ἀνελάβοντο τὴν ἐμπιστευθεῖσαν αὐτοῖς ἐφορίαν τε, καὶ κηδεμονίαν, ἅμα δὲ προήχθησαν εἰς τὴν συλλογήν, καὶ παραλαβὴν τῶν ἐπ' ὀνόματι τῆς σχολῆς, ἐν τῷ διαληφθέντι Καταστίχῳ καταγραφέντων, καὶ πρὸς αὐτὴν ἀφιερωθέντων χρημάτων, καὶ ἐπὶ πᾶσι, συνῳδὰ τῇ Κυριαρχικῇ τῆς ἐκείνου ἱερότητος προνοίᾳ, καὶ τῇ ἐνθέρμῳ τῶν χριστιανῶν παρακλήσει, ἐξητήσαντο τὴν ἔκδοσιν τοῦ παρόντος Πατριαρχικοῦ ἡμῶν καὶ Συνοδικοῦ Σιγγιλλιώδους ἐν μεμβράναις Γράμματος πρὸς ἐπικύρωσιν τῶν πεπραγμένων, ἐπωφελῆ τῶν χρημάτων διοίκησιν, καὶ τῆς ἀρτισυστάτου σχολῆς εὐρυθμίαν, καὶ συντήρησιν διηνεκῆ, καὶ συμπροϊοῦσαν τῷ χρόνῳ. Τὴν γοῦν κοινὴν αὐτῶν αἴτησιν καὶ ἀξίωσιν λίαν ἀσμένως, καὶ εὐχαρίστως ἀποδεξάμενοι, καὶ τῆς θεοφιλοῦς προθέσεως ἀγασάμενοι, ταῖς τε ἀπὸ βάθους ψυχῆς, καὶ καρδίας Συνοδικαῖς εὐχαῖς, καὶ εὐλογίαις, καὶ τοῖς προσήκουσιν ἐπαίνοις καταστέψαντες αὐτούς τε καὶ πάντας τοὺς συνδραμόντας, καὶ προαίρεσιν φιλογενῆ, καὶ φιλόκαλον ἐπιδειξαμένους, γράφοντες ἀποφαινόμεθα Συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων Ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν (ἀδελφῶν καὶ) (α) συλλειτουργῶν, ἵνα ἡ ῥηθεῖσα ἀρτιπαγὴς τῶν Ἑλληνικῶν μαθημάτων σχολή, ἡ ἐν τῇ χώρᾳ Ἀβάσσῳ, καθ' ὃν εἴρηται τρόπον συσταθεῖσα, ὑπάρχῃ ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον κλεϊζομένη τῷ ὀνόματι τοῦ

---

(α) Αἱ δύο αὗται λέξεις εἰσὶ παρεφθαρμέναι ἕνεκα ὀπῆς τῆς μεμβράνης.

10520



πρώτου Συνίστορος αὐτῆς περισπουδάστου ἡμῶν Συναδελφοῦ ἁγίου Δέρκων κυρίου Γρηγορίου, ἀδούλωτος, ἐλευθέρα, καὶ οἱασοῦν καταχρήσεως, καὶ καταχτήσεως ἀνωτέρα, καὶ πρὸς ὑποδοχὴν ἑτοίμη οὐ μόνον τῶν κατοίκων φιλομαθῶν νέων, ἀλλὰ καὶ τῶν περιοίκων, ἢ καὶ ἐξ ἄλλων μερῶν κατ' ἔρωτα παιδείας προσερχομένων· διατελῇ δὲ ἀείποτε ὑπὸ τὴν ἐφορείαν, ἐπεξεργασίαν, καὶ κρίσιν, καὶ ἀνάκρισιν, καὶ ἄγρυπνον προμήθειαν, καὶ κηδεμονίαν τῶν ἐξονομασθέντων τεσσάρων ἐφόρων αὐτῆς, οἵτινες ὀφείλουσι, καθ' ὃν περ ἔχουσι, καὶ τρέφουσιν ἔνθεον ζῆλον ῥυθμίζειν, καὶ συντάττειν τὰ κατ' αὐτὴν πάντα, καὶ πρὸς τὸ συμφερώτερον διοικεῖν ἐν ἁπάσῃ ἀδείᾳ καὶ πληρεξουσιότητι, καὶ χρείας γενομένης ἀποκαταστάσεως ἐφόρου, ἢ ἐξ ἀφορμῆς θανάτου μεσολλαβήσαντος, ἢ δι' ἄλλην τινὰ αἰτίαν, ἐκλέγειν ἕτερον ἀντ' ἐκείνου, ὃν ἂν ἐγκρίνωσιν ἄξιον, καὶ ἐγκαταλέγειν τῇ χορείᾳ τῇ ἑαυτῶν, ὥστε διηνεκῆ καὶ συγκεκροτημένην εἶναι διὰ παντὸς τὴν προσδιορισθεῖσαν ἐφορικὴν τετρακτύα, ὥσπερ βάσιν τετράγωνον· τὰ δὲ προσενεχθέντα, καὶ ἀφιερωθέντα παρά τε τῆς αὐτοῦ ἱερότητος, τά τε παρὰ τῆς ἐκκλησίας διὰ κοινῆς τῶν ἐγκατοίκων πρὸς τὴν σχολὴν ὁμολογίας μετενεχθέντα, καὶ παρ' ἑνὸς ἑκάστου τῶν φιλοκάλων ἀφιερωθέντα χρήματα, ὡς φαίνονται ἐν τῷ ἐπίτηδες γεγενημένῳ καταστίχῳ ὀνομαστὶ, καὶ ποσοτικῶς καταγεγραμμένα, ὑπάρχωσι, καὶ γινώσκωνται παρὰ πάντων δίκαια τῆς σχολῆς ἀναφαίρετα εἰς ἅπαντα τὸν αἰῶνα, καὶ ἀναπόσπαστα, κατατιθέμενα ἐπὶ τόκῳ ἐν μέρεσιν ἀσφαλέσιν, ἢ εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ χριστοῦ μεγάλης ἐκκλησίας, ἢ εἰς τὸ κοινὸν τοῦ Παναγίου, καὶ ζωοδόχου Τάφου, διὰ τῆς ἐντόνου τῶν Ἐφόρων ἐπιστασίας. Ἔστω δὲ καὶ Κιβώτιον τῇ σχολῇ παρὰ τοῖς Ἐφόροις, καὶ Σφραγὶς αὐτῇ τετραμερὴς, ἑκάστου τῶν Ἐφόρων ἓν τῶν τεσσάρων αὐτῆς ἔχοντος τμημάτων, καὶ ἐναποτιθέμεναι ἐν τῷ Κιβωτίῳ αἵ τε ὁμολογίαι, καὶ εἴ,τι ἐκ συνεισφορᾶς τῶν φιλομούσων ἐφεξῆς προσγένηται, ἐπισφραγιζέσθω ἀσφαλῶς· ἔστω δὲ προσεπιτούτοις καὶ Κῶδιξ ἐπ' ὀνόματι αὐτῆς, καὶ καταγραφέσθωσαν ἐν αὐτῷ τὰ τῇ σχολῇ προσόντα, καὶ ὅσα παρὰ τῶν φιλοκάλων ἐς δεῦρο προσενεχθέντα ἀφιερώθησαν εἰς παράδειγμα καὶ προτροπὴν τῶν ἐσομένων φιλομούσων, καὶ φιλογενῶν, ὡσαύτως δὲ καὶ τὰ ἐτήσια τῆς σχολῆς ἔξοδα, ἐπικρινόμενα παρὰ τῶν ζηλωτῶν Ἐφόρων, καὶ ὑπογραφόμενα, καὶ τῇ ἐπιβεβαιώσει τῆς τε αὐτοῦ ἱερότητος, καὶ τῶν μετὰ ταῦτα δια-

(ΑΒΑΣΣΟ)



0205

δόχων αὐτοῦ ἐπιδεβαιούμενα. Ὅση δὲ ποσότης χρηματικὴ τῇ θείᾳ συναντιλήψει μετὰ ταῦτα προσγένηται, ταύτην ἔχουσιν ἐν πάσῃ ἀδείᾳ, ὥσπερ καὶ τὴν ἤδη σωζομένην, οἱ διαληφθέντες ἔφοροι διοικεῖν ἐπωφελῶς, κατατιθέμενοι ἢ ἐν τοῖς εἰρημένοις δυσὶ μέρεσιν, ἢ ἐν ἄλλοις ἀνυπόπτοις, καὶ ἀσφαλέσιν εἰς αὐλικὰς Ἐπαρχιακὰς ὁμολογίας, συνάγειν τε ἐν ταῖς προθεσμίαις τοὺς τόκους, καὶ ἐξ αὐτῶν ἀπολογεῖσθαι τὰς ἐτησίους διδασκαλικὰς συντάξεις, καὶ ὅσα χρειώδη τῇ σχολῇ ἔξοδα ποιεῖσθαι, προηγουμένης τῆς ἀναγκαίας ἀκριβοῦς αὐτῶν ἐξετάσεως. Ἐκλεγέσθω δὲ ἀείποτε παρ' αὐτῶν, τῇ συναινέσει καὶ τοῦ κατὰ καιροὺς κανονικοῦ Κυριάρχου Διδάσκαλος ἐν λόγοις καὶ φρονήμασι γενναῖος, ἤθεσί τε κατηρτισμένος χρηστοῖς, καὶ τὸν φόβον τοῦ Θεοῦ κεκτημένος ἐγκάρδιον, ἵνα καὶ τοὺς μαθητευομένους, τοιοῦτος ὤν, ὠφελῇ τὴν ὄντως ὠφέλειαν, ἔργον ἔχων τὴν πρόοδον αὐτῶν ἐπὶ τὰ κρείττω, καὶ τὴν χρηστότητα τῶν ἠθῶν, καὶ οὕτω διὰ τῆς ἀόκνου αὐτοῦ Ἐπιμελείας, καὶ ὑγιοῦς παραδόσεως, τῆς τε ἀνυστάκτου, καὶ διηνεκοῦς Ἐφορικῆς προστασίας, καὶ τῆς κυριαρχικῆς συνδρομῆς, ἣν καὶ πάντες οἱ κανονικοὶ τῆς αὐτοῦ ἱερότητος διάδοχοι ἐποφείλουσι, τῷ γενναίῳ προκατοχικῷ διεγειρόμενοι παραδείγματι, μένῃ εἰς αἰῶνας ἀδιαδόχους συμπαρεκτεινόμενον τὸ λαμπρὸν τοῦτο κατόρθωμα, καὶ βελτιούμενον, καὶ θάλλον ἀεὶ, καὶ καρποῖς βρίθον ὡραίοις ἀναλόγοις τῇ κοινωφελεῖ προθέσει, καὶ ταῖς χρησταῖς ἐλπίσι τῶν ἀξιαγάστων φιλογενῶν, καὶ φιλομούσων συνιστόρων αὐτοῦ. Ταῦτα ἀπεφάνθη, καὶ κεκύρωται Συνοδικῶς. Ὃς δ' ἂν, καὶ ὁποῖος τῶν ἁπάντων, εἴτε ἐκ τοῦ ἱερατικοῦ Καταλόγου, εἴτε ἐκ τοῦ λαϊκοῦ Συστήματος τολμήσῃ ποτὲ διασεῖσαι τὴν ῥηθεῖσαν σχολὴν, καὶ διαταράξαι τὴν καλὴν αὐτῆς τάξιν, καὶ ἁρμονίαν, καὶ τῶν Ἐφόρων αὐτῆς τὴν ἐλευθέραν διοίκησιν, καὶ βλάβης αὐτῇ τε, καὶ αὐτοῖς γένηται πρόξενος, καὶ ζημίας, ἢ μέχρι κεραίας ἀνατροπεὺς τῶν ἐν τῷ παρόντι συνοδικῶς ἐκπεφασμένων, ὁ τοιοῦτος ὡς ἀλαζὼν καὶ πολέμιος τῶν καλῶν καὶ θεαρέστων ἔργων, ἀφωρισμένος ὑπάρχῃ παρὰ τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ ζωοποιοῦ, καὶ ἀδιαιρέτου μακαρίας Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος, καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς πατρικαῖς, καὶ Συνοδικαῖς ἀραῖς, ὑπεύθυνος, καὶ ἔνοχος τοῦ Πυρὸς τῆς γεέννης, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος. Εἰς γοῦν ἔνδειξιν τούτων, καὶ ἀσφάλειαν διηνεκῆ ἐγέ-

νετο καὶ τὸ παρὸν ἡμέτερον Πατριαρχικὸν, καὶ Συνοδικὸν Σιγγιλλιῶδες ἐν μεμβράναις Γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς τοῦ χριστοῦ μεγάλης ἐκκλησίας ἐδόθη τοῖς διαληφθεῖσιν ἀγρύπνοις Ἐφόροις, καὶ ζηλωταῖς.

Ἐν ἔτει σωτηρίῳ ᾳωκω κατὰ μῆνα ἰαννουάριον : ἐπινεμήσεως : Ηης.

† ὁ Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος νέας ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης Κωνσταντινουπόλεως.

† ὁ Καισαρείας Ἰωαννίκιος. — † ὁ Ἐφέσου Διονύσιος. — † ὁ Ἡρακλείας Μελέτιος. — † ὁ Νικαίας Μακάριος. — † ὁ Χαλκηδόνος Γεράσιμος. — † ὁ Θεσσαλονίκης Ἰωσήφ. — † ὁ Βεῤῥοίας Μελέτιος. — † ὁ Πισιδείας Εὐγένιος. — † ὁ Ἀθηνῶν Γρηγόριος. — † ὁ Κρήτης Γεράσιμος. — † ὁ Ἀγκύρας Μελέτιος. — † ὁ Βιζύης Ἱερεμίας. — † ὁ Σίφνου Καλλίνικος. — † ὁ Κεστεντιλίου Κωνστάντιος. — † ὁ Δυῤῥαχίου Σαμουήλ.

---

## ΔΙΟΝΥΣΙΟΣ Ο ΔΕΡΚΩΝ Ο ΣΑΜΟΥΡΚΑΣΗΣ.

Βραχέα ἐκ πολλῶν, ἃ ἠδυνάμεθα καταλέξαι ἐνταῦθα, ἀναγράφοντες περὶ τοῦ προκειμένου ὀνόματος ἑνὸς τῶν μητροπολιτευσάντων τῆς ἐπαρχίας τῶν Δέρκων κατὰ τὸν παρελθόντα αἰῶνα, ἅτε σκοποῦντες ἵνα τῷ ἐπερχομένῳ ἐνιαυτῷ διαλάβωμεν πλατύτερον περὶ τῆς μακρᾶς σειρᾶς τῶν ἀπὸ τοῦ ΙΣΤ΄ αἰῶνος καὶ μικρῷ πρότερον διακυβερνησάντων πνευματικῶς μέχρι τῶν καθ' ἡμᾶς τὸ μικρὸν τοῦτο καὶ εὐήνιον ποίμνιον, λέγομεν ἐκ προοιμίων ὅτι ὁ ἀνὴρ οὗτος σπουδαῖον διεδραμάτισε πρόσωπον κατὰ τὸ μακρὸν διάστημα τῆς ἐν διαφόροις μητροπόλεσιν ἀρχιερατείας αὐτοῦ, περίεργον δὲ καὶ σφοδρὰν ἀνῆψεν ἔριδα μεταξὺ αὐτοῦ τε καὶ τῆς τῷ 1772 ἐν Κωνσταντινουπόλει ἐνδημούσης Συνόδου, ὅτε διῴκει τὰς ἡνίας τῆς τελευταίας μητροπολιτικῆς ἕδρας τῶν Δέρκων, ἔριδα, οἵας δυστυχῶς οὐ σπάνις καὶ ἐν τῷ πρόσθεν χρόνῳ τῆς διοικητικῆς καταστάσεως τῆς Ἐκκλησίας. Τὴν ἔριδα ταύτην, καταδεικνύουσαν ἡμῖν τὴν ἐπὶ τῆς ἐποχῆς ἐκείνης ἠθικὴν τοῦ κλήρου κατάπτωσιν, ἧς ἀληθὲς αἴτιον ἦν ἡ κακῶς ὑπεισδύσασα φιλαρχία, ἀνελίσσουσι τὰ κατωτέρω δημοσιευόμενα τέσσαρα ἔγγραφα, τὰ διαμειφθέντα μεταξὺ τοῦ πατριάρχου Θεοδοσίου τοῦ Β΄, τοῦ ἀπὸ Θεσσαλονίκης.